***16** Stob. I. 6. 3

πάντα Τύχη καὶ Μοῖρα Περίκλεες ἀνδρὶ δίδωσιν.

**17** Syrianus in Hermog., i. 6 Rabe; Io. Sicel. in Hermog., *Rhet. Gr.* vi. 96. 5 Walz

πάντα πόνος τεύχει θνητοῖς μελέτη τε βροτείη.

## 18 - 67. TRIMETRI

**18** Eust. in Hom. p. 518. 28 (ex Herodiano, ii. 639 Lentz)

παῖδ' Ἄρεω μιηφόνου.

Cf. p. 519. 5.

**19** Plut. *de tranqu. animi* 10 p. 470c

⊗ "οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει,
οὐδ' εἷλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι
θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρέω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν."

"Θάσιος γὰρ ἦν ἐκεῖνος" (sc. φησί τις).

1 Arist. *Rhet.* Γ 17 p. 1418$^{b}$23 εἰς δὲ τὸ ἦθος, ἐπειδὴ ἔνια περὶ αὑτοῦ λέγειν ἢ ἐπίφθονον ἢ μακρολογίαν ἢ ἀντιλογίαν ἔχει . . . ἕτερον χρὴ λέγοντα ποιεῖν . . . καὶ ὡς Ἀρχίλοχος ψέγει· ποιεῖ γὰρ τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρὸς ἐν τῷ ἰάμβῳ "χρημάτων—ἀπώμοτον" (fr. 122. 1), καὶ τὸν Χάρωνα τὸν τέκτονα ἐν τῷ ἰάμβῳ οὗ ἡ ἀρχή "οὔ μοι